Τοῦ αὐτοῦ.

Τέσσαρες αἰωρεῦσι πανυπτερύγων ἐπὶ νώτων
Νῖκαι ἰσηρίθμους ἕδρας ἀθανάτων·
Ἁ μὲν, ἀθηναίαν πτολεμαδόκον, ἁ δ', ἀφροδίταν,
Ἁ δ', τὸν ἀλκείδαν, ἁ δ', ἀφόβητον ἄρη,
Σεῖο καλλιόροφον κραπὸν τέγος. ἐς δὲ νέονται
Οὐρανόν. ὦ ῥώμας γαῖε πάτρας ἔρυμα.
Θείη ἀνίκατον μὲν ὁ βουφάγος· ἁ δέ γε κύπρις,
Εὔγαμον· εὔμητιν παλλὰς, ἄτρεστον ἄρης.

ΜΝΑΣΑΛΚΟΥ.

Στῶμεν ἁλιρράντοιο παρὰ χθαμαλὰν χθόνα πόντου
Δερκόμενοι τέμενος κύπριδος εἰναλίας,
Κράναν τ' αἰγείροισι κατάσκιον. ἧς ἀπὸ νᾶμα
Ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

ΑΔΡΙΑΝΟΥ βασιλέως εἰς τάφον πομπηΐου ἐν αἰγύπτῳ.

Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου.

---

## ΕΙΣ ΝΑΥΑΓΙΟΝ, κεφ. νε.

ΖΩΣΙΜΟΥ θασίου.

Οὐ μόνον ὑσμίνῃσι καὶ ἐν στονόεντι κυδοιμῷ
Ῥύομ' ἀρειτόλμου θυμὸν ἀναξιμένους,
Ἀλλὰ καὶ ἐκ πόντου, ὁπότ' ἔκλισε νῆα θάλασσα,
Ἀσπὶς, ἐφ' ἡμετέρης νηξάμενον σανίδος.
Εἰμὶ δὲ κὴν πελάγει καὶ ἐπὶ χθονὸς ἐλπὶς ἐκείνῳ,
Τὸν θρασὺν ἐκ διπλῶν ῥυσαμένη θανάτων.

ΘΕΩ.